17 γένηται. 17καὶ ἔσται μετὰ ἑβδομήκοντα ἔτη ἐπισκοπὴν ποιήσει ὁ
θεὸς Τύρου, καὶ πάλιν ἀποκατασταθήσεται εἰς τὸ ἀρχαῖον καὶ ἔσται
18 ἐμπόριον πάσαις ταῖς βασιλείαις τῆς οἰκουμένης. 18καὶ ἔσται αὐτῆς
ἡ ἐμπορία καὶ ὁ μισθὸς ἅγιον τῷ κυρίῳ· οὐκ αὐτοῖς συναχθήσεται,
ἀλλὰ τοῖς κατοικοῦσιν ἔναντι κυρίου πᾶσα ἡ ἐμπορία αὐτῆς φαγεῖν
καὶ πιεῖν καὶ ἐμπλησθῆναι εἰς συμβολὴν μνημόσυνον ἔναντι κυρίου.
24 1Ἰδοὺ κύριος καταφθείρει τὴν οἰκουμένην καὶ ἐρημώσει αὐτὴν
καὶ ἀνακαλύψει τὸ πρόσωπον αὐτῆς καὶ διασπερεῖ τοὺς ἐνοικοῦντας
2 ἐν αὐτῇ. 2καὶ ἔσται ὁ λαὸς ὡς ὁ ἱερεὺς καὶ ὁ παῖς ὡς ὁ κύριος
καὶ ἡ θεράπαινα ὡς ἡ κυρία, ἔσται ὁ ἀγοράζων ὡς ὁ πωλῶν καὶ
3 ὁ δανείζων ὡς ὁ δανειζόμενος καὶ ὁ ὀφείλων ὡς ᾧ ὀφείλει. 3φθορᾷ
φθαρήσεται ἡ γῆ, καὶ προνομῇ προνομευθήσεται ἡ γῆ· τὸ γὰρ
4 στόμα κυρίου ἐλάλησεν ταῦτα. 4ἐπένθησεν ἡ γῆ, καὶ ἐφθάρη ἡ οἰ-
5 κουμένη, ἐπένθησαν οἱ ὑψηλοὶ τῆς γῆς. 5ἡ δὲ γῆ ἠνόμησεν διὰ
τοὺς κατοικοῦντας αὐτήν, διότι παρέβησαν τὸν νόμον καὶ ἤλλαξαν
6 τὰ προστάγματα, διαθήκην αἰώνιον. 6διὰ τοῦτο ἀρὰ ἔδεται τὴν γῆν,
ὅτι ἡμάρτοσαν οἱ κατοικοῦντες αὐτήν· διὰ τοῦτο πτωχοὶ ἔσονται
οἱ ἐνοικοῦντες ἐν τῇ γῇ, καὶ καταλειφθήσονται ἄνθρωποι ὀλίγοι.
7 7πενθήσει οἶνος, πενθήσει ἄμπελος, στενάξουσιν πάντες οἱ εὐφραι-
8 νόμενοι τὴν ψυχήν. 8πέπαυται εὐφροσύνη τυμπάνων, πέπαυται αὐθ-
9 άδεια καὶ πλοῦτος ἀσεβῶν, πέπαυται φωνὴ κιθάρας. 9ᾐσχύνθησαν,
10 οὐκ ἔπιον οἶνον, πικρὸν ἐγένετο τὸ σικερα τοῖς πίνουσιν. 10ἠρη-
11 μώθη πᾶσα πόλις, κλείσει οἰκίαν τοῦ μὴ εἰσελθεῖν. 11ὀλολύζετε
12 περὶ τοῦ οἴνου πανταχῇ· πέπαυται πᾶσα εὐφροσύνη τῆς γῆς. 12καὶ
καταλειφθήσονται πόλεις ἔρημοι, καὶ οἶκοι ἐγκαταλελειμμένοι ἀπ-
13 ολοῦνται. 13ταῦτα πάντα ἔσται ἐν τῇ γῇ ἐν μέσῳ τῶν ἐθνῶν, ὃν
τρόπον ἐάν τις καλαμήσηται ἐλαίαν, οὕτως καλαμήσονται αὐτούς,
14 καὶ ἐὰν παύσηται ὁ τρύγητος. 14οὗτοι φωνῇ βοήσονται, οἱ δὲ κατα-
λειφθέντες ἐπὶ τῆς γῆς εὐφρανθήσονται ἅμα τῇ δόξῃ κυρίου. ταρα-
15 χθήσεται τὸ ὕδωρ τῆς θαλάσσης· 15διὰ τοῦτο ἡ δόξα κυρίου ἐν
ταῖς νήσοις ἔσται τῆς θαλάσσης, τὸ ὄνομα κυρίου ἔνδοξον ἔσται

**17** μετα] + τα B | αποκατασταθησεται] αθ > BA | ταις > S* | fin.] + επι προσωπον (+ πασης *L*) της γης B*L* (in *O* sub ※) || **18** αυτης/η εμπ.] tr. B*L* = 𝔐 (sed post μισθος non addunt αυτης) | τω > B(†) | κυριου 1⁰] + εν ιερουσαλημ S*C* | εις] pr. και B†

**24 1** τους] + παντας S*† || **2** εσται 2⁰] pr. και S*L* | και paenult. > B | ως ult. > S*† || **4** επενθησεν et εφθαρη] + και κατερριφη *L*, + ※κατερριφη *O* | επενθησαν] pr. και A† || **5** η δε] και η S*C* | παρεβησαν AQ*C*] παρηλθοσαν BS, παρηλθον *L* | προσταγματα] + κυριου A† (*C* add. κυριου post νομον) | διαθηκην] pr. διεσκεδασαν S*L* (*C* add. διεσκεδ. ante ηλλαξαν [sic]) || **10** πασα πολις] pr. ολη η γη S† | κλεισει οικιαν(Q -ας)] κλ(ε)ισθησονται οικιαι Sᶜ*L* || || **11** της γης] > B†, pr. απεσχισθη χαρα *L* (in *O* sub ※) || **12** και 1⁰ > B *L* = 𝔐 | **13** εσται] εσονται B† | καλαμησηται] -μαται S*L* || **14** φωνη βοησονται] βοη φωνησουσιν B*L*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/600 UNIVERSITÄT LEIPZIG